## XLIV

*φάσεις τὰν μὲν Κύπριν ἀνὰ κραναὰν Κνίδον ἀθρῶν,*
*ἅδε που ὡς φλέξει καὶ λίθος εὖσα λίθον·*
*τὸν δ' ἐνὶ Θεσπιάδαις γλυκὺν Ἵμερον οὐχ ὅτι πέτρον*
*ἀλλ' ὅτι κὴν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.*
*τοίους Πραξιτέλης κάμε δαίμονας ἄλλον ἐπ' ἄλλας*
*γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.*

## XLV

*τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας*
*Κύπριν, Ἀπελλείου μόχθον ὅρα γραφίδος,*
*ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν*
*ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.*
*αὐταὶ νῦν ἐρέουσιν Ἀθηναίη τε καὶ Ἥρη*
*"οὐκέτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα."*

## B. *ΑΝΤΙΠΑΤΡΟΥ*

## XLVI

*τὰν ἔλαφον Λάδωνα καὶ ἀμφ' Ἐρυμάνθιον ὕδωρ*
*νῶτά τε θηρονόμου φερβομέναν Φολόας*
*παῖς ὁ Θεαρίδεω Λασιώνιος εἷλε Λυκόρτας,*
*πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ·*
*δέρμα δὲ καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων*
*σπασσάμενος κούρᾳ θῆκε παρ' ἀγρότιδι.*